# Landesolympiade Wien 2021/22
## Klausur Griechisch

Ein Vertreter der Medizin rechnet schonungslos mit den monistischen Theorien der Naturphilosophen ab; sie sind für die Erklärung der Natur des menschlichen Körpers einfach unbrauchbar.

Οὔτε τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτ᾽ ἄλλο οὐδέν, ὅ τι μὴ φανερόν ἐστιν ἐνεὸν ἐν τῷ ἀνθρώπῳ· ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι[1]. Δοκέουσι μέντοι μοι οὐκ ὀρθῶς γινώσκειν οἱ ταῦτα λέγοντες. Γνώμῃ[2] μὲν γὰρ τῇ αὐτῇ πάντες χρέονται, λέγουσι δὲ οὐ ταὐτά· ἀλλὰ τῆς μὲν γνώμης τὸν ἐπίλογον[3] τὸν αὐτὸν ποιέονται (φασί τε γὰρ ἕν τι εἶναι, ὅ τι ἔστι[4], καὶ τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν[5])· κατὰ δὲ τὰ ὀνόματα οὐχ ὁμολογέουσιν· λέγει δ᾽ αὐτῶν ὁ μέν τις φάσκων ἠέρα τοῦτο εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν, ὁ δὲ πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ γῆν, καὶ ἐπιλέγει[6] ἕκαστος τῷ ἑωυτοῦ λόγῳ μαρτύριά τε καὶ τεκμήρια, ἅ ἐστιν οὐδέν. Ὁπότε δὲ γνώμῃ[7] τῇ αὐτῇ προσχρέονται, λέγουσι δ᾽ οὐ τὰ αὐτά, δῆλον ὅτι οὐδὲ γινώσκουσιν[8] αὐτά.

---

[1] παρίημι überlassen (es zu tun)
[2] γνώμη, -ης *hier* (prinzipielle) Denkweise
[3] ἐπίλογος, -ου *hier* Schluss, Lehrsatz, Dogma
[4] ἔστι (Akzent!) es existiert ewig/unabänderlich
[5] τὸ πᾶν das Ganze, das All
[6] ἐπιλέγω *hier* (als) abschließenden Beweis vorführen *(für: +Dat.)*
[7] *s.Anm.2*
[8] γινώσκω *hier* verstehen